# ΥΠΟΘΕΣΙΣ ΕΚΑΒΗΣ.

Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν Τρῳάδος Χεῤῥόνησον καθωρμίσθησαν. Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς, σφαγῆναι ἠξίου μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα, Πολυξένην, ἀποσπάσαντες Ἑκάβης, ἐσφαγίασαν. Πολυμήστωρ δὲ, ὁ τῶν Θρᾳκῶν βασιλεὺς, ἕνα τῶν Πριαμιδῶν Πολύδωρον κατέσφαξεν· εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως, κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον, φονεύειν ὥρμησε, καὶ φιλίας δυστυχοῦς ὠλιγώρησεν. ἐκῥιφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν, τὸ κλυδώνιον, πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω· κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι, Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο, κρύπτουσα τὸ γεγονὸς, ὡς θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ. παραγενομένου δὲ τοὺς μὲν υἱοὺς κατέσφαξεν· αὐτὸν δὲ τῶν ὀφθαλμῶν ἐστέρησεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα, τὸν κατήγορον ἐνίκησεν. ἐκρίθη γὰρ οὐκ ἄρχειν ὠμότητος, ἀλλ' ἀμύνασθαι τὸν κατάρξαντα.

Hoc argumentum e membranis edidit Brunckius; multo prolixius dederat Aldus.

## CODICUM INDEX, QUOS, AUT AB ALIIS AUT A ME INSPECTOS, AD HANC FABULAM ADHIBUI.

A. MS. Par. 2712. quæ sunt Brunckii membranæ, a Musgravio, deinde diligentius a Brunckio, collatus.

Aug. 1. 2. 3. Augustani tres apud Hermannum. Quarti fragmentum continet tantum 17 versus, 1269—1285.



SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG